E μέθας καὶ ἡδυπαθείας ἑορτήν τινα μέλλουσαν ἢ φίλων ὑπο-
δοχὴν ἐν χερσὶν ἔχοντας ἢ προσδοκῶντας ἑστίασιν ἡγεμονικὴν
καὶ συμπεριφορὰν ἀπαραίτητον, οἷον ἐπιόντος ἀνέμου καὶ κύ-
ματος εὐσταλὲς τὸ σῶμα καὶ κοῦφον ἐν εὐδίᾳ παρασκευάζον-
τας. ἔργον γάρ ἐστιν ἐν συνουσίαις καὶ φιλοφροσύναις αὑτὸν
ἐπὶ τῶν μετρίων καὶ τῶν συνήθων φυλάξαι μὴ πᾶσι μετ'
ἀηδίας δεινῆς ἐπαχθῆ φανέντα καὶ φορτικόν. ἵν' οὖν μὴ
πῦρ ἐπὶ πυρί, ὥς φασι, πλησμονή τις ἐπὶ πλησμονῇ καὶ ἄκρα-
τος ἐπ' ἀκράτῳ γένηται, τὸ παιχθὲν ἀστείως ὑπὸ Φιλίππου
F μετὰ σπουδῆς μιμητέον· ἦν δὲ τοιοῦτον. ἄνθρωπος αὐτὸν ἐπὶ
χώρας ὡς σὺν ὀλίγοις ὄντα δειπνῆσαι παρεκάλεσεν, εἶτα ὁρῶν
πολλοὺς ἄγοντα παρεσκευασμένων οὐ πολλῶν ἐταράττετο. συν-
αισθόμενος οὖν ὁ Φίλιππος ὑπέπεμπε τῶν φίλων ἑκάστῳ κε-
124 λεύων πλακοῦντι καταλιπεῖν χώραν, | οἱ δὲ πειθόμενοι καὶ
προσδοκῶντες ἐφείδοντο τῶν παρακειμένων. ἤρκεσεν οὖν ἅπασι
τὸ δεῖπνον. οὕτω δὴ προπαρασκευαστέον αὑτοὺς τῶν ἀναγκαίων
συμπεριφορῶν, καὶ ὄψῳ καὶ πέμματι καὶ νὴ Δία μέθῃ χώραν
φυλάττοντας ἐν τῷ σώματι, καὶ πρόσφατον ἐπὶ ταῦτα ⟨καὶ⟩
βουλομένην τὴν ὄρεξιν ἄγοντας. **(5.)** ἐὰν δὲ τοιαῦταί τινες
ἄφνω βαρεῖς ὄντας ἡμᾶς καὶ διακειμένους φαύλως ἀνάγκαι
καταλάβωσιν ἡγεμόνων καλούντων ἢ ξένων ἐπιφανέντων ὑπ'
αἰδοῦς βαδίζειν εἰς ταὐτὸ τοῖς ἱκανῶς ἔχουσι καὶ συμπίνειν,
ἐνταῦθα μάλιστα δεῖ παρατετάχθαι πρὸς 'τὴν μέγα σινομένην
ἄνδρας αἰδῶ' (Ω 45; Hes. OD 318) καὶ δυσωπίαν τὰ τοῦ τρα-
B γικοῦ Κρέοντος λέγοντας (Eur. Med. 290)

'κρεῖσσον δέ μοι νῦν πρός σ' ἀπεχθέσθαι, ξένε,
ἢ μαλθακισθένθ' ὕστερον μέγα στένειν.'

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id40391017X/262 UNIVERSITÄT LEIPZIG